καὐγὼ σκολιῷ σκίπωνι χερὸς
διερειδομένα σπεύσω βραδύπουν
ἤλυσιν ἄρθρων προτιθεῖσα.
ὦ στεροπὰ Διός, ὦ σκοτία νύξ,
τί ποτ' αἴρομαι ἔννυχος οὕτω
δείμασι φάσμασιν; ὦ πότνια Χθών,
μελανοπτερύγων μῆτερ ὀνείρων,
ἀποπέμπομαι ἔννυχον ὄψιν,
ἣν περὶ παιδὸς ἐμοῦ τοῦ σῳζομένου κατὰ Θρῄκην
ἀμφὶ Πολυξείνης τε φίλης θυγατρὸς δι' ὀνείρων
[εἶδον γὰρ] φοβερὰν [ὄψιν ἔμαθον] ἐδάην.
ὦ χθόνιοι θεοί, σώσατε παῖδ' ἐμόν,
ὃς μόνος οἴκων ἄγκυρ' ἀμῶν
τὴν χιονώδη Θρῄκην κατέχει
ξείνου πατρίου φυλακαῖσιν.
ἔσται τι νέον,
ἥξει τι μέλος γοερὸν γοεραῖς.
οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
φρίσσει ταρβεῖ.
ποῦ ποτε θείαν Ἑλένου ψυχὰν
καὶ Κασάνδραν ἐσίδω, Τρῳάδες,
ὥς μοι κρίνωσιν ὀνείρους;
εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾷ

---

65 (*σκολιῷ σκίπωνι*) Eust. in Il. p. 1170 in Od. p. 1815 | *σκιπῶινι A σκί∗πωνι L σκίμπονι G σκίμπωνι g* | *χειρὸς E* 66 *διερειδομένα E η* sup. *α* scr. *E*[1] *διερειδομένη LGb* 68. 69 schol. Aristoph. ran. 1331
68 *στεροπὶ b* 69 *ποτε E* | *αἴρομ' B* | *ἐννυχίοις* Hartungius 70 *φάσμασι E* | *χθών*] *γρ. νύξ* superscr. *A*[1] scholia scribens 71 cf. Eustath. in Il. p. 173 in Od. p. 1877 | *μᾶτερ LG* 72 Eustath. de Ism. am. V, 5 p. 71 H. 75 „in v. 59—97 quae ad Polyxenam pertinent, iure dubites, num Euripidi ipsi debeantur.“ Chr. Baier animadv. in poet. trag. graec. Bonnae 1874 p. 91 | *πολυξείνης A*] *πολυξένης r* 76 lex. Vindob. p. 131, 9 | verba *εἶδον γὰρ* et *ὄψιν ἔμαθον* del. Hartungius (*εἶδον γὰρ* iam Matthiaeus) | *εἶδον. εἶδον γὰρ G* | *γὰρ* om. *E* | *φοβερήν B* 80 (*ἄγκυρα*) Suidas II, 2 p. 1583 | *ἄγκυρ' ἀμῶν* Meinekius Theocr. p. 472] *ἄγκυρά τ' ἐμῶν* libri *ἄγκυρ' ἔτ' ἐμῶν* rec.
82 *πατρίου A*] *πατρῴου r* (in *A* ante *ι* man. 2 fortasse aliquid scripsit, quod postea erasum) 85 *ἀλίαστον* Nauckius stud. Eur. I p. 3 *ἀλιάστῳ — τάρβει* Herwerdenus stud. Thuc. p. 161 87 *ψυχήν B*
88 *καὶ*] *ἢ B* | *κασάνδραν G* cum schol.] *κασάνδρας r* | *τρωϊάδες BE τρωάδες κόραι G* 89 *κρίνωσιν E*] *κρίνωσ' BLGA*[2] *κρίνουσ' A*
90 (*βαλιὰν ἔλαφον*) Etym. m. p. 186 | *χαλᾷ G η* sup. *α* scr. *G*[1] *χηλᾷ b*